Γαι εἰς τριάκοντα καὶ ἓξ ἄνδρας καὶ κατεδίωξαν αὐτοὺς ἀπὸ τῆς
πύλης καὶ συνέτριψαν αὐτοὺς ἐπὶ τοῦ καταφεροῦς· καὶ ἐπτοήθη
6 ἡ καρδία τοῦ λαοῦ καὶ ἐγένετο ὥσπερ ὕδωρ. [6]καὶ διέρρηξεν Ἰη-
σοῦς τὰ ἱμάτια αὐτοῦ, καὶ ἔπεσεν Ἰησοῦς ἐπὶ τὴν γῆν ἐπὶ πρόσ-
ωπον ἐναντίον κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι
7 Ισραηλ, καὶ ἐπεβάλοντο χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. [7]καὶ εἶπεν
Ἰησοῦς Δέομαι, κύριε, ἵνα τί διεβίβασεν ὁ παῖς σου τὸν λαὸν τοῦ-
τον τὸν Ιορδάνην παραδοῦναι αὐτὸν τῷ Αμορραίῳ ἀπολέσαι ἡμᾶς;
8 καὶ εἰ κατεμείναμεν καὶ κατῳκίσθημεν παρὰ τὸν Ιορδάνην. [8]καὶ τί
ἐρῶ, ἐπεὶ μετέβαλεν Ισραηλ αὐχένα ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ;
9 [9]καὶ ἀκούσας ὁ Χαναναῖος καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν
περικυκλώσουσιν ἡμᾶς καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ τῆς γῆς· καὶ τί
10 ποιήσεις τὸ ὄνομά σου τὸ μέγα; [10]καὶ εἶπεν κύριος πρὸς Ἰησοῦν
11 Ἀνάστηθι· ἵνα τί τοῦτο σὺ πέπτωκας ἐπὶ πρόσωπόν σου; [11]ἡμάρ-
τηκεν ὁ λαὸς καὶ παρέβη τὴν διαθήκην, ἣν διεθέμην πρὸς αὐτούς,
καὶ κλέψαντες ἀπὸ τοῦ ἀναθέματος ἐνέβαλον εἰς τὰ σκεύη αὐτῶν.
12 [12]οὐ μὴ δύνωνται οἱ υἱοὶ Ισραηλ ὑποστῆναι κατὰ πρόσωπον τῶν
ἐχθρῶν αὐτῶν· αὐχένα ἐπιστρέψουσιν ἔναντι τῶν ἐχθρῶν αὐτῶν,
ὅτι ἐγενήθησαν ἀνάθεμα· οὐ προσθήσω ἔτι εἶναι μεθ᾽ ὑμῶν, ἐὰν
13 μὴ ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν. [13]ἀναστὰς ἁγίασον τὸν
λαὸν καὶ εἰπὸν ἁγιασθῆναι εἰς αὔριον· τάδε λέγει κύριος ὁ θεὸς
Ισραηλ Τὸ ἀνάθεμα ἐν ὑμῖν ἐστιν, οὐ δυνήσεσθε ἀντιστῆναι ἀπ-
έναντι τῶν ἐχθρῶν ὑμῶν, ἕως ἂν ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν.
14 [14]καὶ συναχθήσεσθε πάντες τὸ πρωὶ κατὰ φυλάς, καὶ ἔσται ἡ φυλή,
ἣν ἂν δείξῃ κύριος, προσάξετε κατὰ δήμους· καὶ τὸν δῆμον, ὃν
ἐὰν δείξῃ κύριος, προσάξετε κατ᾽ οἶκον· καὶ τὸν οἶκον, ὃν ἐὰν
15 δείξῃ κύριος, προσάξετε κατ᾽ ἄνδρα· [15]καὶ ὃς ἂν ἐνδειχθῇ, κατα-
καυθήσεται ἐν πυρὶ καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ὅτι παρέβη τὴν
16 διαθήκην κυρίου καὶ ἐποίησεν ἀνόμημα ἐν Ισραηλ. — [16]καὶ ὤρ-
θρισεν Ἰησοῦς καὶ προσήγαγεν τὸν λαὸν κατὰ φυλάς, καὶ ἐν-
17 εδείχθη ἡ φυλὴ Ιουδα· [17]καὶ προσήχθη κατὰ δήμους, καὶ ἐν-
18 εδείχθη δῆμος ὁ Ζαραϊ· καὶ προσήχθη κατὰ ἄνδρα, [18]καὶ ἐνε-
19 δείχθη Αχαρ υἱὸς Ζαμβρι υἱοῦ Ζαρα. [19]καὶ εἶπεν Ἰησοῦς τῷ Αχαρ
Δὸς δόξαν σήμερον τῷ κυρίῳ θεῷ Ισραηλ καὶ δὸς τὴν ἐξομολό-
γησιν καὶ ἀνάγγειλόν μοι τί ἐποίησας, καὶ μὴ κρύψῃς ἀπ᾽ ἐμοῦ.
20 [20]καὶ ἀπεκρίθη Αχαρ τῷ Ἰησοῖ καὶ εἶπεν Ἀληθῶς ἥμαρτον ἐναντίον

5 εις > A | και $4^0$] εως A | επι] απο B || 6 εναντι A | επεβαλοντο] -λον τον A | την κεφαλην A || 7 κυριε] + κυριε A | ινα] δια A† || 11 διαθηκην] + μου A | και ult. > B || 12 επιστρεψ.] υποστρ. B*† | εναντι] κατα προσωπον $A^r$ || 13 εν υμιν / εστιν] tr. A | fin.] + αυτων A || 14 δειξη $2^0$ $3^0$] ενδειξη A: item $1^0$ pl., non A | οικον $1^0$] -κους A || 17 ο > B | Ζαρα(ε)ι] Ζαριει A† | προσηχθη ult.] + δημος ο Ζαριει A (Ζαριει A† pro Ζαραι) | κατ ανδρας A || 18—20 αχαρ: cf. 1